# 21-12-2020 † ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## † Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἰουλιανῆς, τῆς ἐν Νικομηδείᾳ.

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν

ευ λο γη με νος ο ερ χο με νος εν ο νο

μα τι Κυ ρι ου

Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ. (Τό ὡς ἄνω)

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ Ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν

ευ λο γη με νος ο ερ χο με νος εν ο νο

μα τι Κυ ρι ου

Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τό ὡς ἄνω)

# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

Ἀπολυτίκιον, Προεόρτιον. Κατεπλάγη Ἰωσήφ.

Ἦχος Δι



## Ἀπολυτίκιον, Τῆς Ἁγίας
## Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ

Δόξα...

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνῄσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχάς ἡμῶν.

## Ἀπολυτίκιον, Τῆς Ἁγίας
## Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ
## Ἦχος Δι




σμω ω σου και πα σχω δι α σε ως βα σι
λευ σω συν σοι και θνη σκω υ περ σου ι να
και ζη σω εν σοι αλλ ως θυ σι αν α μω μον
προσ δε ε χου την με τα πο θου τυ θει σαν
σοι αυ της πρε σβει αις ως ε λε η μων
σω σον τας ψυ χας η μω ω ων

# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Καὶ νῦν... Προεόρτιον.

Ἦχος Δι



Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα

Ἦχος β΄

Ὁ εὐσχήμων Ἰωσὴφ

Ὁ ἀπρόσιτος Θεός, δι΄ εὐσπλαγχνίαν προσιτός, γενόμενός μοι θέλων, προέρχεται σαρκί, γεννηθῆναι ὡς ἄνθρωπος, ἐν πόλει Βηθλεέμ, ἐκ Παρθένου νεάνιδος, ὃν ὑποδέξασθαι προθύμως σπουδάσωμεν, ἀνακράζοντες φόβῳ· Κύριε δόξα σοι.

Δόξα... Καὶ νῦν... τὸ αὐτὸ

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα

Ἦχος γ΄

Τὴν ὡραιότητα

Θαῦμα παράδοξον, ὁρᾶται σήμερον! ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκί, ἐκ τῆς Παρθένου δι΄ ἡμᾶς, τεχθῆναι νῦν ἐπείγεται, Μάγοι μετὰ δώρων δέ, ὡς βασιλεῖ προσκυνήσουσι, Ποιμένες τε καὶ Ἄγγελοι, αὐτὸν δοξολογήσουσι, μεθ΄ ὧν καὶ ἡμεῖς βοῶμεν· Δόξα τῷ δι΄ ἡμᾶς ἐνανθρωπήσαντι.

Δόξα... Καὶ νῦν... τὸ αὐτὸ

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὁ Κανὼν ὁ προεόρτιος

Ἦχος δ'. Ὁ Εἱρμὸς

Τριστάτας κραταιούς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερές, καταπόντισον δέομαι, ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον, ᾄσω μελῴδημα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀγάλλου οὐρανέ, καὶ ἡ γῆ εὐφραινέσθω· ὁ Θεὸς γὰρ μεθ' ἡμῶν, γενόμενος σαρκί, ἐκ Παρθένου νεάνιδος, τίκτεται καὶ σπαργανοῦται, τὰς σειρὰς διαλύει δέ, τῶν ἐμῶν ἐγκλημάτων ὡς εὔσπλαγχνος.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασίλισσα ἁγνή, Βασιλέα τῶν ὅλων, ἀποτίκτει ὑπὲρ νοῦν, τὸν ἄνω τοῖς πιστοῖς, βασιλείαν ἀνοίγοντα, καὶ τὴν ἐν ἡμῖν ἀθλίως, βασιλεύουσαν πάντοτε, ἁμαρτίαν τελείως ἐξαίροντα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Γραφαὶ προφητικαί, περαιοῦνται· Ἰδοὺ γάρ, ὃν προήγγειλαν Χριστόν, ἐν πόλει Βηθλεέμ, φανεροῦται σαρκούμενος· τούτου νῦν προεορτάσαι, τα Γενέθλια σπεύσωμεν, διανοίας εὐθύτητι σήμερον.

Ὁ Κανὼν τῆς Ἁγίας

Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος,

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μαρτύρων, περιφανῶς λαμπρότησι, περιαστράπτουσα, περὶ Θεὸν χορεύεις ἱερῶς, θεουμένη Πανεύφημε, καὶ φωτισμὸν πρεσβείαις σου, παρεχομένη τοῖς ὑμνοῦσί σε.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐτρώθης, τῷ γλυκυτάτῳ ἔρωτι, Χριστοῦ πανεύφημε, καὶ σαρκικὰς λιποῦσα ἡδονάς, καὶ μνηστῆρα ἐπίκηρον, κατεγγυήθης ἄμωμος, Ἁγνὴ Παρθένος τῷ Νυμφίῳ σου.

Δόξα...

Λαμπρύνας, φωτοφανέσι κάλλεσι, τὴν σὴν διάνοιαν, ὁ Πλαστουργὸς τῶν ὅλων καὶ Θεός, οὐρανίων θαλάμων σε, παρθενικῶς χορεύουσαν, Μάρτυς θεόφρον κατηξίωσε.

Καὶ νῦν... Θεοτοκίον

Παρθένος, τὸν Πλαστουργὸν τῆς φύσεως, τεκεῖν ἐπείγεται, ἐν τῷ Σπηλαίῳ σάρκα ἐξ αὐτῆς, καθ᾽ ὑπόστασιν ἄρρητον, ὑπερφυῶς φορέσαντα, ὅπως θεώσῃ τὸ ἀνθρώπινον.

Κανὼν α΄, Ὠδὴ γ΄, ὁ προεόρτιος
Ἦχος δ΄
Ὁ Εἱρμὸς

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησε συναγωγή, τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν, Ἅγιος εἶ Κύριε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δανιὴλ ἐξ ὄρους σε, παρθενικοῦ λίθον Λόγε, ἀποτμηθέντα βλέπει, ἐκλεπτύνοντα βωμούς, εἰδωλικοὺς τῷ κράτει σου· διὰ τοῦτο φόβῳ σε δοξάζομεν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐξ Ἑῴας Μάγοι σε, τῷ Βασιλεῖ τῶν ἁπάντων, ὁδηγηθέντες ἄστρῳ, δῶρα προσάγουσι Χριστέ, σμύρναν χρυσὸν καὶ λίβανον, ἐκπλαγέντες τὴν σὴν συγκατάβασιν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ζωηφόρον ἄσταχυν, χώρα ἀνήροτος φέρει, ἀποτεκεῖν ἐν πόλει, τῆς Βηθλεὲμ ἡ Μαριάμ, πάντων ψυχὰς ἐκτρέφοντα, τῶν βοώντων· Ἅγιος εἶ Κύριε

Κανὼν β΄, Ὠδὴ γ΄, τῆς Ἁγίας
Ἦχος δ΄
Εὐφραίνεται ἐπὶ σοί,

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐτέλεσας τὴν ψυχήν, ναὸν πανάγιον Θεοῦ Ἔνδοξε, θείοις ναοῖς πάντοτε, ὕμνοις καὶ εὐχαῖς παρεδρεύουσα.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μεγίστων ἐπιτυχεῖν, ἐφιεμένη δωρεῶν Πάνσεμνε, πόνους σαρκὸς ἔφερες, ὡς ἐν ἀλλοτρίῳ τῷ σώματι.

Δόξα...

Αἱμάτων σου σταλαγμοῖς, τῆς ἀθεΐας τὴν πυρὰν ἔσβεσας, καὶ τῶν πιστῶν ἤρδευσας, Ἰουλιανὴ τὰ φρονήματα.

Καὶ νῦν... Θεοτοκίον

Ῥυόμενος τοὺς βροτούς, ὁ συμπαθὴς ἐκ τῆς ἁγνῆς τίκτεται, ἐν Βηθλεὲμ σπάργανα, νήπιον καθάπερ δεχόμενος.

Ὠδὴ γ΄, τοῦ μηναίου
Ἦχος δ΄. Ὁ Εἱρμὸς

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα».

## 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ



Κάθισμα Προεόρτιον
Ἦχος γ'
Τὴν ὡραιότητα

Χαρᾶς ἐμπλήσθητε, πάντα τὰ πέρατα· ἡ Θεοτόκος γάρ, τεκεῖν ἐπείγεται, τὸν Βασιλέα τοῦ παντός, ὢ θαύματος ἀνεκφράστου! ἄρχεται ὁ Ἄναρχος, καὶ σαρκοῦται ὁ Ἄσαρκος Σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα. Ἡ Βηθλεὲμ ἀγάλλου, καὶ χόρευε ἡ κτίσις, ἡμέραν προεόρτιον.

Δόξα... Τῆς Ἁγίας
Ἦχος δ'
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Πεποικιλμένη ἀρεταῖς θεοσδότοις, διηνθισμένη τῷ σεπτῷ μαρτυρίῳ, ὅλη καλὴ καὶ ἄμωμος ὡράθης σεμνή· ὅθεν σου ὁ Κύριος, νῦν ἠράσθη τοῦ κάλλους, καὶ πρὸς φωτεινότατον, σὲ νυμφῶνα εἰσῆξεν, ἐν ᾧ χορεύεις, Ἰουλιανή, μετὰ Μαρτύρων Χριστὸν μεγαλύνουσα.

Καὶ νῦν... Προεόρτιον
Ταχὺ προκατάλαβε

Παρθένοι προεξάρξατε, τῇ τῆς Παρθένου χαρᾷ, Μητέρες αἰνέσατε, τὴν προπομπὴν τῆς Μητρός, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Μάγοι σὺν

τοῖς Ἀγγέλοις, σὺν ἡμῖν οἱ Ποιμένες· ἔρχεται γὰρ ἐν πόλει, Βηθλεὲμ τοῦ γεννῆσαι, υἱὸν τὸν πρὸ αἰώνων Θεόν, σῴζοντα κόσμον φθορᾶς.

## Ὠδὴ στ΄, τοῦ Μηναίου

### Ἦχος δ΄.

### Ὁ Εἱρμὸς

**Θ**ύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾽ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».



## Κοντάκιον Προεόρτιον
### Ἦχος β΄
### Τὰ ἄνω ζητῶν

Ἐν τῇ Βηθλεέμ, ὁρῶντες σπαργανούμενον, τὸν πᾶσαν τὴν γῆν, κρατοῦντα τῇ χειρὶ αὐτοῦ, προεόρτια ᾄσματα, τῇ Τεκούσῃ τοῦτον προσενέγκωμεν· μητρικῶς γὰρ εὐφραίνεται, κρατοῦσα ἐν κόλποις τὸν Υἱὸν τοῦ Θεοῦ.

### Ὁ Οἶκος

Τὸν τοῦ Θεοῦ Υἱὸν ἡ Παρθένος ἐν ἀγκάλαις κρατοῦσα, καὶ μητρικοῖς ἀσπασμοῖς καταφιλοῦσα ἐφθέγγετο· Σπορὰν οὐκ ἔγνων ἐν τῇ συλλήψει, καὶ φθορὰν οὐχ ὑπέστην ἐν τῇ γεννήσει, ἀλλ΄ ἁγνὴ ὥσπερ πρώην εἰμὶ καὶ μετὰ γέννησιν· διό σου προσκυνῶ Τέκνον τὴν πολλὴν εὐσπλαγχνίαν, καὶ ἄφατον μεγαλουργίαν, ἣν ἔδειξας εἰς ἐμέ· ὅθεν καὶ ἀγάλλομαι, κρατοῦσα ἐν κόλποις τὸν Υἱὸν τοῦ Θεοῦ.

### Σ υ ν α ξ ά ρ ι ο

Τῇ ΚΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας μάρτυρος Ἰουλιανῆς.

### Στίχοι

Ἰουλιανῆς ἀγλάϊσμα τὸ ξίφος,
Ὡς προξενῆσαν ἀγλαὸν ταύτῃ στέφος.

Ἔκτανον εἰκάδι πρώτῃ Ἰουλιανὴν ἐρατεινήν.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι πεντακόσιοι Μάρτυρες, οἱ ἐν Νικομηδείᾳ διὰ τῆς Ἁγίας Ἰουλιανῆς πιστεύσαντες, ξίφει τελειοῦνται.

Στίχοι

Πεντακοσίους εἶδεν ἐκτετμημένους,
Ἡ Νικομήδους Μάρτυρας νικηφόρους.

Τῇ αὐτῇ ἡμέρᾳ, Αἱ Ἅγιαι ἑκατὸν τριάκοντα γυναῖκες αἱ ἐν Νικομηδείᾳ, ξίφει τελειοῦνται.

Στίχοι

Σὺν πενταπλῇ προὔτεινεν εἰκάδι ξίφει,
Τριπλῇ γυναικῶν μαρτύρων δεκὰς κάρας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου Μάρτυρος Θεμιστοκλέους.

Στίχοι

Τὰς ἐκ σιδηρῶν ὀξέων ἥλων ξέσεις,
Ὥς τις σιδηροῦς καρτερεῖς Θεμιστόκλεις.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ η΄, τοῦ μηναίου
### Ἦχος δ΄
### Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἦχος






Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Τιμιωτέρα τετάρτου ἤχου.

### Τιμιωτέρα Ἦχος λ τος



τα πει νω σιν της δου λης αυ του ι δου

γαρ α πο του νυν μα κα ρι ου σι με πα

σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος γ΄ Ο τι ε ποι η σε μοι με γα

λει α ο δυ να τος και α γι ον το

ο νο μα αυ του και το ε λε ος αυ του


εις γε νε αν και γε νε αν τοις φο βου
με νοις αυ τον
Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν
Στίχος δ'
Ε ποι η σε κρα τος εν βρα χι
ο νι αυ του δι ε σκορ πι σεν υ πε
ρη φα νους δι α νοι α καρ δι ας αυ των
Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος ε' Κα θει λε δυ να στας α πο θρο

νων και υ ψω σε τα πει νους πει νων τας ε

νε πλη σεν α γα θων και πλου του ουν τας ε

ξα πε στει λε κε νους

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ον τως Θε ο το κον σε με γα λυ
νο μεν
Στίχος στ'
Ἀν τε λα βε το Ισ ρα ηλ παι
δος αυ του μνη σθη ναι ε λε ους κα θως
ε λα λη σε προς τους πα τε ρας η μων
τω Α βρα αμ και τω σπερ μα τι αυ του ε
ως αι ω νος
Την Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των
Σε ρα φιμ την α δι α φθο ρως Θε ον
Λο γον τε κου σαν την ον τως Θε ο το κον




Εἶτα ψάλλεται ἡ θ΄ ᾠδὴ τοῦ Μηναίου

Ἦχος δ΄.

Ὁ Εἱρμὸς

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἦχος πλ. δ΄ τος



Ἦχος Γ λ τος Βου



## Ἐξαποστειλάριον τῆς Ἁγίας

Ἦχος γ΄

Τὸν νυμφῶνά σου βλέπω

Τὸν νυμφῶνά σου Λόγε, ἡ Μάρτυς ἐπιποθοῦσα, βασάνων ἅπασαν πεῖραν, στερρῶς ὑπέστη ῥοπῇ σου· Ἧς πρεσβείαις ὡς Θεός, δέομαί σου, τὴν ψυχήν μου οἰκτείρησον.

## Ἐξαποστειλάριον Προεόρτιον

Ἦχος γ΄

Τὸν νυμφῶνά σου βλέπω

Βηθλεὲμ γῆ Ἰούδα, εὐτρέπισον τὰς εἰσόδους· ἐν σοὶ γὰρ ἡ Παρθένος, καὶ Θεοτόκος ἥκει νῦν , ἐν Σπηλαίῳ τοῦ τεκεῖν, ὡς βροτόν, τὸν Θεόν μου καὶ Κύριον.

Εἰς τους Αἴνους, ἱστῶμεν Στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Στιχηρὰ Προσόμοια. Ἦχος πλ. β'

Αἱ Ἀγγελικαὶ

Ἦχος Πα

Πα σα πνο η αι νε σα α τω το ον Κυ ρι ον
αι νει τε τον Κυ ρι ον εκ των ου ρα νων
αι νει τε αυ τον εν τοις υ ψι στοις σοι πρε
πει υ μνος τω Θε ω

Αι νει τε αυ τον παν τες οι Αγ
γε λοι αυ του αι νει ει τε αυ τον πα σαι
αι Δυ να α μεις αυ του σοι πρε πει υ μνος τω
Θε ω

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς.
Ἦχος πλ. β΄ Αἱ Ἀγγελικαὶ

Στιχ. Ἀι νει τε αυ τον ε πι ταις δυ να στει αις αυ του αι νει τε αυ τον κα τα το πλη θος της με γα λω συ νης αυ του

Ἡ δημιουργός, νῦν προέρχεται Σοφία, αἱ προφητικαί, διανίσχουσι νεφέλαι, ἡ χάρις αἰθριάζει, ἡ ἀλήθεια ἔλαμψε, παύεται αἰνίγματα σκιώδη, ἡ τῆς Ἐδὲμ ἠνοίγη πύλη, Ἀδὰμ χόρευε, ὁ πλαστουργὸς Θεὸς ἡμῶν, ἑκὼν πεπλαστούργηται.

Στιχ. Ἀι νει τε αυ τον εν η χω σαλ πιγ γος αι νει τε αυ τον εν ψαλ τη ρι ω και κι θα ρα

Τὸν Θεσπίσματα πληρῶν, Προφητῶν καὶ τὰς ὁράσεις, τίκτεται σαρκί, καὶ παχύνεται ὁ Λόγος, καὶ φάτνῃ τῶν ἀλόγων, γεννηθεὶς

ἀνακλίνεται. Τοῦτο συγκατάβασις ἡ ἄκρα! τοῦτο ἡ φρικτὴ οἰκονομία! δι᾽ ἣν ψάλλομεν· Ὁ Βασιλεὺς τοῦ Ἰσραήλ, Χριστὸς παραγίνεται.




Ἵνα τῆς φθορᾶς, τὸν ἰὸν ἀποκαθάρῃς, καὶ τὴν ἀρχικήν, ἀναπλάσῃς μοι εἰκόνα, σαρκοῦσαι καὶ θηλάζεις, καὶ σπαργάνοις ὁ νεύματι, πάντα περιάγων ἐνειλίσσῃ, τερατουργὲ ὑμνῶ σε Λόγε, βουλῆς Ἄγγελε, τῆς πατρικῆς, δι᾽ ἧς ἐγώ, ἀπαθανατίζομαι.



Κόλπων Πατρικῶν, οὐκ ἐκστὰς βροτὸς ὡράθης, καὶ Παρθενικαῖς, ἐποχούμενος ὠλέναις, τοὺς Μάγους ἐκ Περσίδος, δι᾽ ἀστέρος ἐκάλεσας, ἄνακτα Θεὸν σε προσκυνοῦντας· πνεύματι χειλέων ἀσεβοῦντας, ἐθνῶν ἄρχοντας, ὃς ἀνελεῖς, καὶ ποιμανεῖς, λαὸν περιούσιον.

Δοξαστικὸν

Ἦχος πλ. β΄. Αἱ Ἀγγελικαὶ

Δόξα...

Λόγος ὁ Πατρί, ὁμοούσιος ὑπάρχων, ἐκ παρθενικῶν, φυραθεὶς ἁγνῶν αἱμάτων, καὶ πλάττεται καὶ αὔξει, χρονικῷ διαστήματι, αὖθίς τε γεννᾶται ἐν Σπηλαίῳ, ἔκπληξις! ἀλλ᾽ Ἄγγελοι κροτοῦσι, βροτοὶ μέλπουσιν· Ὁ Βασιλεὺς τοῦ Ἰσραήλ, Χριστὸς παραγίνεται.

Καὶ νῦν ... Θεοτοκίον ὅμοιον

Μάντεως χρησμοί, Βαλαὰμ ἀποπληροῦνται· οἱ γὰρ Περσικαῖς, τερατείαις κεχηνότες, ἀστέρος ἀσυνήθους, τῇ ἐλλάμψει τὸν ἄδυτον, Ἥλιον Χριστὸν καταυγασθέντες, ἐν Βηθλεὲμ σωματωθέντα, Θεὸν ἄνακτα, καὶ ἐθελούσιον νεκρόν, τοῖς δώροις τεκμαίρονται.

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυ νοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

*Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.*
*Ἐκ τοῦ μηναίου*

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β' Οἶκος τοῦ Ἐφραθᾶ

Προλάμπει ὁ ἀστήρ, ἤδη ἐν τῷ Σπηλαίῳ· Ποιμένες μέτ΄ Ἀγγέλων, οἱ Μάγοι μετὰ δώρων, προφθάσαι εὐτρεπίσθητε.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Ἵνα τῶν Προφητῶν, πληρώσῃ τὰς προρρήσεις, ἐν Βηθλεὲμ γεννᾶται, καὶ τὴν Ἐδὲμ ἀνοίγει, τοῖς ἐξ Ἀδὰμ ὁ Κύριος.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου.

Μύρισον Βηθλεέμ, τὴν Φάτνην τὴν ἁγίαν· ἐν σοὶ γὰρ ὁ Δεσπότης, προσεφαπλοῖ ἀκτῖνας, τῆς ἑαυτοῦ Θεότητος.

Δόξα... Καὶ νῦν ...Θεοτοκίον
Ἦχος β'
Οἶκος τοῦ Ἐφραθᾶ

Δεῦτε οἱ γηγενεῖς, συμφώνως τὴν Παρθένον, Θεοτόκον Μαρίαν, ὑμνήσωμεν ἀπαύστως, ἐξ ἧς ὁ Χριστὸς τίκτεται.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ´)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἀπολυτίκιον, Τῆς Ἁγίας
Ἦχος δ'
Κατεπλάγη Ἰωσὴφ

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνῄσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα... Καὶ νῦν...
Ἀπολυτίκιον, Προεόρτιον
Ἦχος δ'
Κατεπλάγη Ἰωσὴφ

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου· Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα, Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Εἰς τὴν Θείαν Λειτουργίαν

### ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. δ΄ Νη



# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ



# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Ἀντίφωνο Α΄

### Ἦχος Δι

Α μη ην

Στιχ. α΄ Α γα θον το ε ξο μο λο γει σθαι τω Κυ ρι ω και ψαλ λειν τω ο νο μα τι σου Υ ψι στε

Ταις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Στιχ. β΄ Του α ναγ γε λειν τω πρω ι το ε λε ος σου και την α λη θει αν σου κα τα νυ κτα

Ταις πρε σβει αις της Θε ο το κου Σω


τερ σω σον η μας
Στχ. γ΄ Ο τι ευ φρα νας με Κυ ρι ε
εν τοις ποι η μα σι σου και εν τοις ερ
γοις των χει ρων σου α γαλ λι α σο μαι
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Στχ. δ΄ Ο τι ευ θυς Κυ ρι ος ο Θε
ος η μων και ουκ ε στιν α δι κι α
εν αυ τω
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

## Δόξα Πατρὶ...Καὶ νῦν...



# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ



στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι

Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην

Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

## Ἀντίφωνο Γ΄
## Ἦχος Δι



εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι

αλ λη λου ι α

Στιχ. γ' Ο τι Θε ος με γας Κυ ρι ος

και βα σι λευς με γας ε πι πα σαν την

γην

Σω σον η μας Υι ε Θε ου ο εν

Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη

λου ι α α α α

## Εἰσοδικό

Δευ τε προ σκυ νη σω μεν και προ σπε σω
μεν Χρι στω Σω σον η μα ας Υι ε Θε ου
ο εν Α γι οις θαυ μα στος ψαλ λον τας
Σοι αλ λη λου ι α

Ἀπολυτίκιον, Προεόρτιον
Ἦχος δ'
Κατεπλάγη Ἰωσὴφ

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου· Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα, Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Τῆς Ἁγίας
Ἦχος δ'
Κατεπλάγη Ἰωσὴφ

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνῄσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

## Ἀπολυτίκιον, Τῆς Ἁγίας
### Ἦχος δ΄.
### Κατεπλάγη Ἰωσὴφ
### Ἦχος Δι






Ἀπολυτίκιον τοῦ Ναοῦ.

## ΚΟΝΤΑΚΙΟΝ

Ἦχος Γα

Η Παρ θε νος ση η με ρον τον προ

αι ω νι ον Λο ο ο γον εν Σπη λαι ω ε

ερ χε ται α πο τε κειν α πορ ρη η η τως

Χο ρευ ε η οι κου με ε ε νη α κου τι

σθει ει ει σα δο ο ξα σον με τα Αγ γε

λων και των Ποι με ε ε νων βου λη θεν τα

ε πο φθη η ναι παι δι ον νε ον τον προ

αι ω νων Θε ο ο ο ον

## 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΔΕΥΤΕΡΑΣ ΚΘ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος δ΄

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 3:5-11, 17-19

Ἀδελφοί, Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων, Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. Διό, καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ καὶ εἶπον· ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· τίσι δὲ

προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ εἰ μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν.

Ἀλληλούϊα Ἦχος β´

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Στίχ. Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ.

Κοινωνικόν

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Σοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος Πα Ἐναρμόνιος



# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

Ἦχος



# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ



# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος Πα




η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η προς και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην

# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

## ΚΟΙΝΩΝΙΚΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΣΥΝΤΟΜΑ

### Τῇ Δευτέρᾳ (τῶν Ἀσωμάτων).

Ἦχος Πα



# 21-12-2020 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΠΡΟΕΟΡΤΙΟΣ

Τῇ Δευτέρᾳ (τῶν Ἀσωμάτων)

Κοινωνικό. Ὁ ποιῶν τούς Ἀγγέλους.




ου ου ου ου ου ου ους λει ει ει ει ει ει ει
ει ει ει ει ει ει ει ει ει ει ει λει τουρ
γου ου ου ους α αυ του ου ου ου πυ υ
υ υ υ ρο ο ο ο ο ο ο ο ο
ο ο ο ος φλο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο πυ ρο ο ος φλο ο
ο ο ο ο γα α α α Αλ λη λου ου ου
ου ου ι α α α α α α α α

Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…







αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...

Ἦχος Δι

Α α μην Ει η το ο νο μα Κυ ρι
ου ευ λο γη με νον α πο του νυν και ε
ως του αι ω νος ( Δίς )

Το ο νο μα Κυ ρι ου ει η ευ λο
γη με ε νον α πο του νυν και ε ως του
αι ω ω ω νο ο ος

Τόν Εὐλογοῦντα...

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η


Ἦχος Βαρύς Ζω
Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


πα α κου σον των πα ρα α κα λου ουν των σε
ε ε ε ε ε ε ε ε ε

## Θεοτοκία εἰς ἦχον Βαρὺν
## Μὴ καταπιστεύσεις με

Ἦχος Βαρὺς Ζω



μυ θι ι ι αν ουκ ε χω πλη η ην σου Δε ε

σποι να του κο ο ο σμου ελ πις και προ στα

σι ι α των πι στων μη μου πα ρι ι δης

+ την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η

σον

## Μεταβολὴ τῶν θλιβομένων

### Ἦχος Βαρὺς Ζω



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.